γνώσκων ἃ Θερσίτης ὁ γελωτοποιὸς ἢ Σίσυφος ὁ φθορεὺς ἢ
Βάτραχος ὁ πορνοβοσκὸς λέγων ἢ πράττων πεποίηται, διδα-
σκέσθω τὴν μιμουμένην ταῦτα δύναμιν καὶ τέχνην ἐπαινεῖν,
D ἃς δὲ μιμεῖται διαθέσεις καὶ πράξεις προβάλλεσθαι καὶ κακίζειν.
οὐ γάρ ἐστι ταὐτὸ τὸ καλόν τι μιμεῖσθαι καὶ καλῶς. καλῶς γάρ
ἐστι τὸ πρεπόντως καὶ οἰκείως, οἰκεῖα δὲ καὶ πρέποντα τοῖς
αἰσχροῖς τὰ αἰσχρά. καὶ γὰρ αἱ Δαμωνίδα τοῦ χωλοῦ κρη-
πῖδες, ἃς ἀπολέσας εὔχετο τοῖς τοῦ κλέψαντος ἁρμόσαι ποσί,
φαῦλαι μὲν ἦσαν ἐκείνῳ δ' ἥρμοττον. καὶ τό (Eur. Phoen. 524)

'εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν'

καὶ τό (Tr. adesp. 4)

'τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο,
τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖς'

καί (Com. adesp. 117)

E 'τάλαντον ἡ προίξ. μὴ λάβω; ζῆν δ' ἔστι μοι
τάλαντον ὑπεριδόντι; τεύξομαι δ' ὕπνου
προέμενος; οὐ δώσω δὲ κἀν Ἅιδου δίκην
ὡς ἠσεβηκὼς εἰς τάλαντον ἀργυροῦν;'

μοχθηροὶ μέν εἰσι λόγοι καὶ ψευδεῖς, Ἐτεοκλεῖ δὲ καὶ Ἰξίονι
καὶ τοκογλύφῳ πρεσβύτῃ πρέποντες. ἂν οὖν ὑπομιμνήσκωμεν
F τοὺς παῖδας ὅτι ταῦτα οὐκ ἐπαινοῦντες οὐδὲ δοκιμάζοντες
ἀλλ' ὡς ἄτοπα καὶ φαῦλα φαύλοις καὶ ἀτόποις ἤθεσι καὶ
προσώποις περιτιθέντες γράφουσιν, οὐκ ἂν ὑπὸ τῆς δόξης
βλάπτοιντο τῶν ποιητῶν. ἀλλὰ τοὐναντίον ἡ πρὸς τὸ πρόσωπον
ὑποψία διαβάλλει καὶ τὸ πρᾶγμα καὶ τὸν λόγον, ὡς φαῦλον